www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[Ph]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

## ἈΡΧῊ ΤΟΥ͂ ·Φ·. ΣΤΟΙΧΕΊΟΥ.

Φάανθεν, ἀόριστος πρῶτος παθητικός· φαίνω ἐφάνθην ἐφάνθημεν ἐφάνθησαν· καὶ συγκοπῇ τοῦ α, καὶ ἀφαιρέσει τοῦ ε, φάανθεν ὡς τὸ ἤγερθεν, καὶ κόσμηθεν.

Φάγομαι· τὸ θέμα φήγω τὸ ἐσθίω, φήξω· ὁ δεύτερος ἀόριστος, ἔφαγον· ὁ μέλλων δεύτερος, φαγῶ· ὅθεν καὶ τὸ ἀποφαγεῖν· ὁ μέλλων μέσος β', φαγοῦμαι ὤφειλεν· ἀλλὰ ἔσεται τὸ φάγομαι· ἔδομαι· πίομαι· τὰ δεύτερα πρόσωπα, φάγῃ· ἔδῃ· πίῃ· ἐκ δὲ τοῦ φήγω τὸ ἐσθίω, καὶ φηγὸς ἡ δρῦς.

Φαέθων τὸ λάμπω· ἔστι φῶ, οὗ τὸ ἐντελὲς, φάω· παράγωγον φαέθω, ὡς φλέγω, φλεγέθω· ἡ μετοχὴ, φαέθων. ἕτεροι δὲ ἀπὸ τοῦ φάος φαέθων Ἰλιάδος λ. ἠέλιος φαέθων λάμπων ἥλιος.

Φάθι· φημὶ· φήσω· ἔφην· φὰς φάντος· φάθι· οὕτως ἐπεκράτησεν ὀξύτονον· ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι παραλόγως ὀξύνεται.

Φαῖμεν· φημὶ, φήσω· ἔφην· φὰς φάντος, τὸ εὐκτικὸν, φαίην· φαίημεν· καὶ συγκοπῇ, φαῖμεν· φαίησαν καὶ φαῖεν αἰολικῶς· ἐπειδὴ γὰρ κατὰ αἰολεῖς γίνεται συγκοπὴ τοῦ η ἐν τῷ πρώτῳ τῶν πληθυντικῶν, καὶ γίνεται παραλήγουσα ἡ δίφθογγος ἐξ ἀνάγκης, ἀποβολῇ τοῦ μ, γίνεται φαῖεν τὸ τρίτον· τὰ γὰρ εἰς μεν λήγοντα πρῶτα πρόσωπα, τῶν εὐκτικῶν πληθυντικῶν, εἰ μὲν διφθόγγῳ παραλήγεται, εἰς σαν ποιοῦσι τὸ τρίτον· φαίημεν· φαίησαν· εἰ δὲ οὐ διφθόγγῳ, εἰς εν· ἀποβολῇ τοῦ μ, φαῖμεν, φαῖεν· οὕτως βαῖεν· πλαῖεν· σταῖεν· καὶ τὰ παραπλήσια.

Φάναι εἰ μὲν σημαίνει τὸ λέγειν, παροξύνεται βραχέος ὄντος τοῦ α· ἐπεὶ ἔστιν ἐνεστὼς καὶ παρατατικὸς ἀπὸ τοῦ φημί· εἰ δὲ σημαίνει τὸ φαίνειν, προπερισπᾶται μακροῦ ὄντος τοῦ α· καὶ ἔστιν ἀό

ειστος πρώτος ἀπὸ τοῦ φαίνω.

Φανῆ. Ἀρίσταρχος καὶ οἱ ἀκριβεῖς γραμματικοὶ ὑποτακτικὸν τοῦτο ἔχουσιν. ἔστι γὰρ ἡ μετοχὴ φανείς, ἐγὼ φανῶ, καὶ πλεονασμῷ τοῦ η φανήη.

Φάσθαι φημὶ τὸ λέγω· σημαίνει γὰρ τὸ φωνῶ, ὁ μέλλων φήσω. ὁ δεύτερος ἀόριστος ἔφην. ὁ μέσος ἐφάμην ἔφασο ἀποβολῇ τοῦ σ ἔφαο. ὅθεν καὶ προστακτικὸν φάο ἰωνικῶς. τὸ τρίτον ἔφατο καὶ τὸ ἀπαρέμφατον, φάσθαι. ἢ ἐκ τοῦ φῶ τὸ φαίνομαι παράγωγον, φημί. φήσω. ἐφάσθην. ἐφάμην ἔφατο. καὶ ὡς φάτο.

Φάτις ἡ φήμη ἀπὸ τοῦ πέφαται ὡς ἀπὸ τοῦ πέφασαι ἡ φάσις. καὶ ἐκ τοῦ πέφαμαι. ἡ φάμα δωρικῶς καὶ ἡ φήμη κοινῶς.

Φαεσίμβροτος, ὁ φαέθων βροτοῖς, οὗ ἡ παραγωγὴ ὡς τὸ τερψίμβροτος.

Φᾶσθαι, φάθι, φασὶ ἡ κοινὴ χρῆσις οὗ τὸ ἀνάπαλιν ἀπόφαθι κατὰ τὸν εἰπόντα, ἢ φάθι, ἢ ἀπόφαθι. ἀρέσκει δὲ τοῖς πλείοσιν, ἀπὸ τοῦ ἐφάμην ἀορίστου δευτέρου γενέσθαι. διὸ καὶ παροξυνέσθαι ὡς φύσει βραχέος ὄντος τοῦ παρατελεύτου α. καθὰ δῆλον καὶ ἐκ τοῦ ἔφατο. καὶ φάτο. καὶ φάο. οἷον, ἔπος φαόμενον δὲ ἐπίκλωθε. ὧν ἡ ἀρχή. ὁ ἔφην δεύτερος ἐνεργητικὸς ἀόριστος τῆς μετοχῆς, φάς, φάντος. καὶ φάντες ἐν ἰλιάδι. ταυτὸ γὰρ ὂν τῷ φάμενοι. καὶ οὕτω μὲν οἱ πλείους. ὁ δὲ βαθὺς Ἡρακλείδης, φαίνεσθαι θέλων φύσει τε μακρὰν εἶναι τὴν παραλήγουσαν τοῦ φάσθαι. καὶ προπερισπᾶσθαι αὐτήν. εἰπὼν δὲ χρῆναι ἐν τῷ φημί, τὸ παθητικὸν εἶναι φαμαὶ διὰ τοῦ α. καὶ ὅμως ἐκλελοιπέναι διὰ τὸ δυσμαθέστερον. ἐπεὶ οὐδὲν εἰς μαι λῆγον παθητικὸν καὶ τῷ α παραληγόμενον, δισυλλαβεῖ. πάντα γὰρ ὑπὲρ δύο συλλαβάς εἰσιν. ὑποκαταβάς, λέγει ὅτι καθὰ ἐκ τοῦ τιθῶ, περισπωμένου τὸ τίθημι. καὶ ἰσῶ, ἴσημι. οὕτω καὶ ἐκ τοῦ φῶ, φῶ μέλλοντος δευτέρας συζυγίας. φημί. τὸ παθητικὸν, φαμαί. ἄρρητον δηλαδή. αὐτοῦ δὲ τὸ ἀπαρέμφατον, φᾶσθαι. μετ' ὀλίγα δὲ λέγει καὶ περὶ τοῦ ὡς ἐς-

ῥέεθ' ὁμηρικῶς φάο, τοιαῦτα τὰ τοῦ δευτέρου προσώπου, καὶ τὰ παρατατικὸν χρόνον εἰς σο λήγοντα ῥήματα παρέσει τῆς παρατατικῆς αὐξήσεως προστακτικὰ ποιεῖ. οἷον ἐδείκνυσο δείκνυσο· καὶ τὰ ὅμοια. οὐκοῦν καὶ ἀπὸ τοῦ ἐφάμην εἰ ἔστι τὸ δεύτερον ἔφασο, τὸ προστακτικὸν γενήσεται φάσο ἐνδείᾳ χρόνου τοῦ κατ' ἀρχήν. εἶτα φάο κατ' ἔνδειαν τοῦ σ. ἐν τούτοις δὲ γράψαι καὶ ὅτι ἀπὸ τοῦ εἰμὶ ἔμαι γίνεται τὸ ἤμην οὐ προσλήψει τοῦ ι. προκειτέον γράφουσι τὴν διὰ τοῦ η γραφήν. καὶ ἐπασταίων ὅτι τὰ ἐκ δασυνομένου τοῦ ε θέματα προσλαμβάνει τὸ ι ἐν τῇ κινήσει. οἷον, ἕρπω, εἷρπον· ἕλκω, εἷλκον· ἕπομαι, εἱπόμην, ἐπιφέρει καὶ τὸ ἔχομαι, εἰχόμην. οὐ γράφουσι ἐν τῷ ἔχω δασὺ ἦν τὸ ε. ἐψιλώθη δὲ διὰ τὴν ἐπιφορὰν τοῦ χ. διὸ ἐδασύνθη ὁ ἕξω μέλλων. διδάσκων ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεστῶσι πνευμάτων ἄρχεσθαι τοὺς μέλλοντας.

Φέρτερον κρεῖττον ἢ ταχύτερον ἀπὸ τῶν ἀχθοφόρων, καὶ ἀφαιρότερος ὁ τοῦ φέρειν. οἷον τιμήτων κατὰ δύναμιν. γίνεται δὲ τὰ συγκριτικὰ ἀπὸ ὀνόματος ὡς τὸ ὀξὺς ὀξύτερος. ἀπὸ ῥήματος ὡς φέρω φέρτερος. ἀπὸ ἐπιρρήματος, ὡς πάλαι παλαιότερος.

Φέριστον κράτιστον ἐξοχώτερον ἀγαθόν.

Φῆναι ὁ ἀόριστος δεύτερός ἐστιν ὡς τὸ στῆναι. ὁ πρῶτος ἀόριστος ἔφανα, φᾶναι. καὶ φῆναι ἰωνικῶς ὡς μιᾶναι, μιῆναι.

Φῇ. φῶ. φημί. φήσω. ἔφην. φάς, φάντος. ἐὰν φῶ ἐὰν φῇς. φῇ. καὶ ἐὰν φήῃ. οἷον, φήῃ, ὥσπερ καὶ ἁλῶ. ἅλωμι. ἁλώσω ἅλων. ἁλούς, ἁλόντος. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἁλῶ, ἁλῷς ἁλῷ καὶ ἁλώῃ. ἔχει δὲ τὸ ι προσγεγραμμένον. ἔστι δὲ φήῃ ἐὰν ἁλώῃ ὥσπερ ἐὰν στῇ. ἐὰν στήῃ. τὸ οὖν στήῃ ἐπ' ὠκυπόρῳ ποταμῷ. διὸ δεῖ τὸ ἁλώῃ μὴ κατὰ τὴν παραλήγουσαν ἔχειν τὸ ι. ἀλλὰ τὴν λήγουσαν ἵνα ἡ ἀπὸ τρισυλλάβου ἐὰν ἁλώω ἁλώῃς ἁλώῃ. ἀλλ' ἐπεὶ πολλάκις εἰσὶν ἐν τῇ παραληγούσῃ ἔχοντα τὸ ι, οἷον, στήῃ φήῃ. τούτου χάριν καὶ τὸ ἁλώῃ ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι. οὕτως Ὁ χοιρός.

φῆς τοῦ ἄτεν λαῶν. Ἀρίσταρχος περισπᾶται ὅτι παρῳχημενός ἐστιν ἐκ τοῦ ἔφης γενόμενος· διὸ καὶ χωρὶς τοῦ ι γράφεται. ὡς τὸ βῆ. οἷον, βῆ δ' ἀκέων. ἔστι γὰρ βῶ, βῆμι. ἢ καὶ βίβημι. ὁ δεύτερος ἀόριστος. ἔβην. ἔβης. ἔβη. βῆ κατὰ ἀφαίρεσιν τοῦ ε περισπᾶται. ἰστέον δὲ ὅτι μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ μορίου εἰ μὲν μακρὰ συλλαβὴ ὑπολείπεται περισπᾶται, οἷον ἔβην, βῆν. ἔβη, βῆ. ἔφη, φῆ. εἰ δὲ βραχεῖα, ἐξ ἀνάγκης ὀξύνεται, οἷον ἔβαν, βάν. ἔσταν, στάν. ἔφαν φάν. δεῖ δὲ γινώσκειν ὅτι τὸ φῆς δεύτερον πρόσωπον τοῦ ἐνεστῶτος, οἷον φημὶ φῇς οὐκ ὤφειλεν ἔχειν τὸ ι ὅσον κατὰ ἀναλογίαν. τὰ γὰρ εἰς μι τροπῇ τοῦ μι εἰς σ ποιοῦσι τὸ δεύτερον. οὐκοῦν τὸ φημὶ οὐκ ἔχει τὸ ι. τὰ γὰρ εἰς μι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, χωρὶς τοῦ εἶμι τὸ πορεύομαι καὶ εἰμὶ τὸ ὑπάρχω. δῆλον ὅτι οὐδὲ τὸ φῇς ὤφειλεν ἔχειν τὸ ι. ἀλλὰ κατὰ ἱστορίαν, ἤτοι κατὰ παράδοσιν ἔχει αὐτὸ προσγεγραμμένον. ὅτε γὰρ τῇ ἱστορίᾳ χρώμεθα, ἡνίκα τι κατὰ παράδοσιν γράφομεν ὥσπερ τὸ κεῖρον. ἰστέον δὲ ὅτι ἡ ἱστορία διττή ἐστιν. ἤτοι χρῆσις ἥτις καὶ ὡς ὕλη ὑπόκειται τῇ ὀρθογραφίᾳ καὶ ἡ μαρτυρία τῶν ἀρχαίων καὶ ἐνδόξων ἀνδρῶν, ἥτις καὶ ὄργανόν ἐστι τῆς ὀρθογραφίας. διὰ τοῦτο καὶ ἐσχάτη τέτακται ἡ ἱστορία ἐπειδὴ οὐκ ἀεὶ κεχρήμεθα αὐτῇ, ἀλλ' ὅτε οὐ δυνατόν ἐστι τὴν λέξιν διὰ τῶν ἄλλων κατορθῶσαι ἀναλογίας. διαλέκτου, ἢ ἐτυμολογίας. τούτου χάριν τελευταία ἐτάχθη. τινὲς δὲ θέλουσι λέγειν παρὰ τὸ φῇς. ὅτι τὸν μὲν τόνον ὡς ἀπὸ τῶν εἰς μι ἔχει. τὴν δὲ γραφήν, ὡς ἀπὸ τοῦ φῶ εἰς ω, ἀπὸ τοῦ φῶ. τὰ γὰρ εἰς ω θέλουσιν ἔχειν β΄ καὶ γ΄ πρόσωπον διφθόγγους μετὰ τοῦ ι. ἄλλοι δὲ θέλουσιν αὐτὸ εἶναι δωρικὸν ὥσπερ τὸ ζῇς οἷς τισι, καὶ ὁ τόνος ἀντίκειται. ὤφειλε γὰρ περισπᾶσθαι καὶ τὸ τρίτον πρόσωπον τῶν ψιλικῶν, ὤφειλε γὰρ ἀποβολῇ τοῦ σ ποιεῖν τὸ τρίτον.

Φηρσὶ θηρσὶ κατὰ μετάθεσιν, ἢ μετάληψιν αἰολέων τοῦ θ εἰς τὸ φ ὡς θλίβω φλίβω. ἔστι δὲ καὶ ἀττικὸν ὡς θλῶ φλῶ.

Φῆσι κατ᾽ ἐπέκτασιν ἐστὶ φῇ, τρισυλλαβῆς ἀπὸ τοῦ ἐὰν φῶ φῇς φῇ· ὥσπερ καὶ τὸ παμφαίνῃσιν ἀπὸ τοῦ ἐὰν παμφαίνῃ. διὸ καὶ ἔχει τὸ η προπερισπώμενον ὄν. ἀπὸ γὰρ τοῦ ἐὰν φῇ, ἐστὶν (ὡς εἴρηται) τρίτου προσώπου ὀξυνόμενον ὃ οἷον φησὶν ὁριστικὸν ἐστὶν. ἰστέον δὲ ὅτι τὸ φημὶ γινόμενον ἀπὸ τοῦ φῶ, οὐκ ἀναδιπλασιάζεσθαι ἀναγκαῖον καὶ γίνεσθαι τίφημι· ὡς τιθῶ, τίθημι· ἐπειδὴ τὰ ἐγκλινόμενα οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν.

Φθάμενος· ἐστὶ φθῶ τὸ καταλαμβάνω· ὅθεν Ἰλιάδος λ̄, φθῆσι τέλος θανάτου· οὗ παράγωγον φθῆμι· ὁ παθητικὸς ἐνεστὼς φθάμαι· ἡ μετοχὴ ὁ φθάμενος· Ἰλιάδος ε̄· ὅς με βάλεν φθάμενος· οἱ δὲ, φασὶν ἀπὸ τοῦ φθαζόμενος κατὰ συγκοπήν· εἶμαι δὲ, οὐ καλῶς· ἕτεροι δὲ οὕτως φθῆμι φθήσω· ὁ δεύτερος ἀόριστος, ἔφθην· ὁ μέσος, ἐφθάμην· ἡ μετοχὴ, φθάμενος· τὸ δὲ φθῶ ἀπὸ τοῦ θῶ τὸ τρέχω πλεονασμῷ τοῦ φ· ἢ ἀπὸ τοῦ φθίω τὸ φθείρω· οἱ γὰρ καταλαμβάνοντες ἐλαττοῦσι καὶ φθείρουσι τὸν δρόμον τοῦ καταλαμβανομένου· τοῦ φθῆμι ὁ παθητικὸς παρακείμενος ἔφθαμαι.

Φθαίη· φθῆμι φθήσω· ὁ ἀόριστος δεύτερος, ἔφθην· ἡ μετοχὴ, φθὰς φθάντος· τὸ εὐκτικὸν, φθαίην· τὸ τρίτον, φθαίη· καὶ παραφθαίη ἐν Ἰλιάδος κ̄ ἀντὶ τοῦ φθάσοι παρέλθοι παραδράμοι προλάβοι· σημαίνει καὶ τὸ φθείρειν.

Φθὰς ἀπὸ τοῦ φθάζω φθάσω· ἢ ἀπὸ τοῦ φθῆμι ἔφθην· ὁ δεύτερος φθὰς· καὶ ὑποφθὰς, ἀντὶ τοῦ προφθάσας προλαβών.

Φθισήνωρ δηλοῖ μὲν τὸν φθείραντα τοὺς ἄνδρας, ὃ δὴ σημαίνει τὸ ὁ φθισίμβροτος· καὶ ὁ ἀείμβροτος, καὶ ὁ ἀνδροφόντης, καὶ ὁ βροτολοιγός· γίνεται δὲ ἀπὸ τοῦ φθείω φθείσω· ἐπεὶ δὲ τὸ φθείω διφορεῖται· ὡς καὶ ὁ Χοιροβοσκὸς ἐν τῇ ὀρθογραφίᾳ δηλοῖ· διφορεῖται καὶ ἡ ἄρχουσα τοῦ φθισήνωρ· πολλὰ γοῦν τῶν παλαιῶν ἀντιγράφων διὰ διφθόγγου αὐτὴν ἔχουσι· καὶ ἔχει λόγον ἡ τοιαύτη γραφικὴ διφόρησις, ἐκ μὲν γὰρ τοῦ φθίω

φθίσω, ὡς τίω τίσω, καὶ φθίσις ὡς τίσις, ἡ φθισήνωρ. ἐκ δὲ τοῦ φθῶ φθείω, ὡς κῶ κείω, ὅθεν τὸ κείσεται. τὸ χῶ χείω τὸ χωρῶ, ἀφ' οὗ τὸ οὖδας δ' ἀμφοτέρους ὅδε χείσεται, ἤγουν χωρήσει. γράφοιτο ἂν εὐλόγως διὰ διφθόγγου ἡ ἄρχουσα τοῦ φθισήνωρ.

Φθίω τοῦ φθίνω, ὡς ἔστι τὸ τίω τοῦ τίνω. ἐκ τούτου δὲ ἡ φθεῖσθαι, τὸ φθαρῆναι κατὰ κρᾶσιν. Τὸ ἐείλεον πλεονασμὸν ἔχει τοῦ κατ' ἀρχὴν ε πρὸς ὁμοιότητα τοῦ ἑείσατο.

Φθήσονται, γίνεται ἐκ τοῦ φθῶ φθήσω, ἢ μᾶλλον ἐκ τοῦ φθῆμι. ὅθεν ἡ ὁ παραφθάμενος, ἡ τὸ φθάς, καὶ τὸ ἔφθη. τὸ δέ γε ἔφθασε ἡ παρὰ ταυτὸ, δοκεῖ ἐκ τοῦ παραγομένου τοῦ φθάζω γίνεσθαι. τὸ δὲ φθῶ ἐκ τοῦ φῶ τὸ φαίνω πλεονασμῷ τοῦ θ. ἤγουν ἐκ τοῦ ὁμοίου φῶ, καὶ τοῦ θῶ τίθημι, ἤγουν τιῶ. τὸ γὰρ φθάσαι σενέσθαι πέφανται ἔστι τέθειται.

Φθῖσαι, ἡ τὸ ἀποῤῥαῖσαι, ταυτὰ νοῦσοι. καθὰ ἔστι τὸ θανατοῦντι μόροντι. ἡ τὸ μενοεικέα πολλῶν. ζωὴν δὲ ἡ νῦν τὸν βίον λέγει, τουτέστι πάντα εἰς τὸ ζῆν ἐπιτήδεια.

Φιλέεσκεν, φιλέω φιλήσω. καὶ οἱ Δωριεῖς τρέπουσι τὸ η εἰς δύο εε, φιλέεσω, πλεονασμῷ τοῦ κ φιλεέσκω. ὁ παρατατικὸς ἐφιλέεσκον ἐφιλέεσκε καὶ ἀφαιρέσει φιλέεσκε.

Φιλήμεναι ἀπὸ σεσιγημένου ῥήματος γίνεται τοῦ φίλημι. ὅθεν ἔστι τὸ φίλατο ἀντὶ τοῦ ἠγάπησε, καὶ τὸ νῦν αὖ με φίλε Ἀθήνη. οὕτω γὰρ τινὲς γράφουσι τῶν ἀκριβεστέρων, ὡς προεδηλώθη. ἡ οὐ φίλεε. ἐκ τοῦ τοιούτου γοῦν ῥήματος ἡ τὸ φιλῆναι ὡς στῆναι, ὅθεν φιλήμεναι ὡς στήμεναι.

Φίλε τέκνον ἀττικῶς ῥηθέν.

Φλοιὸς γίνεται μὲν ἐκ τοῦ φλέω. ὀξύνεται δὲ ὡς τὸ κολοιός. ἀποβαλὼν δὲ τὸ ι, βαρύνεται, ὡς τὸ χρόνος ῥόος. ἐκ τούτου δὲ καὶ συναιρεθὲν, γίνεται φλοῦς. ὥσπερ δὲ τὸ φλοιὸς ἐκπεσὼν τοῦ ι βαρύνεται, οὕτω καὶ ἐπ' ἄλλων ὀνομάτων συμβαίνει. ἐκ τοῦ χροιὰ ἡ χρόα γίνεται, καὶ ἐκ τοῦ ῥοιὰ, ῥόα. ἡ ἐκ τοῦ δειρὴ, ὁ τράχηλος δέρη.

Φλεγυίας ἀττικῶς κατὰ πάθος ἐσχηματίσθη, τεθὲν ἀντὶ τοῦ φλέγοντες.

Φόρταγον καθ' ἓν λέγομεν φόρταγον ἐκ ἰλιάδος ρ̄. τῶν δὲ παρόντων καθ' ἓν τοῦτο γὰρ εἴη ἄριστον ἢ ἐκ πολλῶν τῶν προγεγονότων καθ' ἓν τοῦγ' ἄμεινον γένοιτο. γράφεται δὲ καὶ φόρταγον, ὅπερ καὶ κρεῖττον.

Φορύσσετο· ἐμολύνετο· ἐφύρατο, τῷ αἵματι ἐξ οὗ καὶ τὸ αἱμοφορυκτά.

Φορεῖμαι ἤγουν φέρειν θέμα τὸ φοραίνω, ἢ φόρημι.

Φοιτήτην, ἀναλόγως μὲν κοινότερον διὰ τοῦ η̄ ἔχει τὴν παραλήγουσαν, ὡς ἐκ τοῦ φοιτάω φοιτῶ· εἰ δὲ κατά τινα τῶν ἀντιγράφων διὰ διφθόγγου γράφεται φοιτείτην ὡς τὸ κομείτην, ζητητέον εἴπου εὕρηται φοιτέω, ὡς κομέω καὶ ποιέω· ἵνα ἐκεῖθεν ἡ δίφθογγος ᾖ.

Φοβέοντο, οὕτως ἐστὶ τὸ φοβεῖσθαι, ἀντὶ τοῦ φεύγειν ἀεὶ κεῖται παρὰ τῷ ποιητῇ ὁποῖον καὶ ἐνταῦθα τὸ ὅπου οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο.

Φρασαίατο· σκέψοιντο· λέγοιντο· ὁ κανὼν ἐπὶ τῶν τρίτων προσώπων τῶν εὐκτικῶν, οἱ αἰολεῖς εἰώθασι τὸ ἀμετάβολον τρέπειν εἰς ᾱ· οἷον πείθοιντο· πειθοίατο· φράσαιντο φρασαίατο.

Φράζεσθαι εἰ καὶ προγέγραπται, ὅμως οὐ πάρεργον καὶ ἐκ τοῦ ἡρακλείδου παρασημειώσασθαι ταῦτα, ἀνέκαθεν φησὶν ἤγουν ἐξ ἀρχῆς θεματικῆς· ἐστὶ φῶ τὸ λέγω. οὗ μετοχὴ ὁ φάσας, ὡς κλῶ κλάσας, καὶ συγκοπῇ φὰς ἔμεν ἀπόλεμον· ὥσπερ ἐστὶ κλὰς φησὶ παρὰ ἀνακρέοντι. τὸ δὲ φῶ παραχθὲν εἰς τὸ φάζω· ἐξ οὗ ἡ φάσις. προσλήψει τοῦ ρ̄ γράφεται φράζω, ὅθεν ἡ φράσις· ἄλλως δὲ μεταληφθὲν μακεδόνων φησὶ διαλέκτῳ· ἐστὶ δὲ ἐξενεχθὲν διὰ τοῦ β̄. ποιεῖ τὸ κῶ, βάζω σικελικῶς, καθὰ καὶ τὸ συγῶ συγάζω· ἀνιῶ ἀνιάζω, ἀτιμάζω πελάζω· ἐκ δὲ τοῦ βάζω· καὶ ἡ βάξις δωρικώτερον· καὶ οὕτω μὲν ἐκ τοῦ φῶ μακεδονικῶς γέγονε τὸ

βω οὐδέποτε γράφουσι κατ᾽ ἀρχὰς λέξεων ἐκεῖνοι τῷ φ χρῶνται, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ δηλαδὴ τῷ β· ὡς καὶ ὁ βίλιππος δηλοῖ. καὶ ἄλλα εἰρημένα ἐν ἑτέροις· ἐν δὲ τῷ ἑτέρῳ τόπῳ. λέγει ὁ αὐτὸς Ἡρακλείδης, τοὺς Παμφυλίους ἄλλως χαίρειν τῷ β προτιθέντας αὐτὸ παντὸς φωνήεντος· τὸ γοῦν φάος, φάβος φασί· καὶ τὸ ἀέλιος βαβέλιος· οὕτω δέ φησι καὶ τὸ ὀρούω ὀρούβω· λέγουσι καὶ πλεονασμένως δὲ ὀρουβεῖν, ὡς δὲ οἱ αἰολεῖς, ἄλλως τῷ β χαίρουσι προτιθέντες τοῦ ρ ἐν τῷ ῥάκος· βράκος· ῥοτὸς, βροτὸς, ῥυτὴρ, βρυτὴρ, ἐν ἄλλοις δηλοῦται. λέγει δὲ Ἡρακλείδης, καὶ ὅτι Ταραντῖνοι τὰ εἰς ζω λήγοντα βαρύτονα ῥήματα τὰ ὁ παροξύτονα, καὶ ἀπὸ διὰ τοῦ κ ἐκφέρονται· φραζόντων ἐν δυσὶ σσ· σαλπίζω· σαλπίσσω· λακτίζω, λακτίσσω· οὕτω δὲ καὶ φράζω, φράττω· τὸ λέγω· ἐκεῖθεν Κόριννα ἡ μελοποιός, φράττω ἔφη ἐν δυσὶ ττ βοιωτικῶς. ἔτι δὲ λέγει ὁ αὐτός, καὶ ὡς ἡ εἰρημένη καὶ Ταραντῖνοι τὰ παρ᾽ ἡμῖν διὰ δύο σσ ἔμπαλιν διὰ τοῦ ζ προφέρουσι· τὸ δὲ πλάσσω, πλάζω φασί· καὶ τὸ ἀνάσσω ἀνάζω. ἔτι λέγει καὶ ὅτι αἰολεῖς τῷ α προτιθέντες τὸ υ, ὡς φησι Ἀρίσταρχος παρατιθεὶς τὸ ἀτὰρ αὐτὰρ, δαλοῦ δαυλοῦ, ἰαχὴν ἰαυχὴν. λέγουσιν οὕτω καὶ φάσκω φαύσκω· καὶ μετὰ τοῦ ρ φραύσκω. δῆλον δ᾽ ὅτι ἐκ τοῦ εἰρημένου φαύσκω καὶ τὸ πιφάσκω γίνεται κατὰ ἀναδιπλασιασμὸν σὺν ἤθη τισὶ ἰᾶσιν, οἳ τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα διπλάζοντες, τὸ πρῶτον σύμφωνον ἐκφέρουσι μιᾷ πλεονάζον συλλαβῇ· οἷον δέξεται δεδέξεται· λάβησι λελάβησι· κάμωσι κεκάμωσι· δάπτω δάπτω. καὶ πλεονασμῷ τοῦ ρ δαρδάπτω, μύρω μορμύρω· οὕτω καὶ ἀπὸ τοῦ δάσκω διδάσκω, καὶ τιτρώσκω ἀπὸ τοῦ τρῶσαι. καὶ ἀπὸ τοῦ πρήσω, καὶ πλήσω· τὸ πίμπρησι καὶ πίμπλησι καὶ ἐκ τοῦ φόνος τὸ ὦ πέφνου, μεταπεσόντος τοῦ φ εἰς π· δωριεῖς γράφουσι τοὺς ἐπιδίσους, φόνους λέγουσιν, ὡς οἱονεὶ ἄξια φόνου δεδρακότας, καὶ μετὰ προθέσεως, μεταφόνους· ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται· φῦ, ἐν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἀντὶ τοῦ προσεπέλασεν αὐτῷ, καὶ προσῆ-